UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Isidoro Diacono. 89.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

in ipsius moribus animaduerti. Posteaquã enim ipsum non modò virtutis causa, sed etiam eorum, quos virtutis amor tenet, libenti atque alacri animo periculũ adeuntem conspexi, hinc reliqua quoque viri illius philosophiam tanquam vestigiis odoratus, ad ipsum amandum sum incitatus. Cùm autem rursum insani quidẽ Sophistæ pietatis Christianę dogmata conuellere atque labefactare conarentur, hîc verò eorũ armis atque syllogismis instructi, non priùs eos ferre destitimus, quàm eos prorsus in fugam cõiecissemus, ac perspicuam & integram victoriam retulissemus. Hic nimirum secundus nobis amicitiæ, nõ dicam igniculus, sed fax perspicuè accẽsa est, ac permãsit. Nam ea diuini amoris lex est. Corporeus siquidẽ, vt pote abiectus & humilis (quandoquidem à corporibus fluxis & caducis coagmentatur) fluit, atque florum instar marcescit. Nam neque ignis absumpta ea materia, quæ flammæ causam præbuit, manet, verùm vnà cum ea abscedit: nec sopito atque extincto igniculo amor cõsistit. At diuinus & pudicus amor, quia rei firmæ ac stabilis est, proinde stabilis quoque ipse est, quóque virtutis pulchritudinem magis imaginatur, eo quoque arctius, & secum, & inter se deuincit eos, qui earundem rerum desiderio tenentur.

τὸ μισοπόνηρον ἐστὶν ἦθος. ἐπειδὴ γὰρ εἶδον αὐτὸν οὐ μόνον ὑπὲρ ἀρετῆς, ἀλλὰ καὶ ὑπὲρ τῶν φιλαρέτων ἡδέως κινδυνεύοντα, ἀπὸ τούτου καὶ τὴν λοιπὴν φιλοσοφίαν τἀνδρὸς ἰχνηλατήσας, ἐτρώθην πρὸς φιλίαν. ἐπειδὴ δὲ καὶ σοφιστομανοῦντές τινες, τὰ δόγματα τῆς εὐσεβείας λυμήνασθαι ἐμηχανῶντο, ἐνταῦθα φραξάμενοι τοῖς ἐκείνων ὅπλοις, καὶ τοῖς συλλογισμοῖς πατάσσοντες οὐ πρότερον ἀνήκαμεν, ἢ τελέως τρέψασθαι, καὶ τὸ κράτος καθαρῶς ἀναδήσασθαι. οὗτος δεύτερος ἡμῖν τῆς ἀγάπης οὐκ ἔτι σπινθὴρ, ἀλλ' ἤδη πυρσὸς περιφανῶς ἐξήφθη, καὶ παρέμεινε. τοιοῦτος γὰρ τοῦ θείου ἔρωτος ὁ νόμος. ὁ μὲν γὰρ σωματικὸς, ἅτε χαμαίζηλος ὢν, ἐπειδὴ ἀπὸ ῥευστῶν συνίσταται σωμάτων, ῥεύσει, καὶ δίκην ἀνθῶν μαραίνεται. οὔτε γὰρ πῦρ μένει τῆς ὕλης τὴν ὑπόθεσιν τῇ φλογὶ δεδωκυίας ἀναλωθείσης, ἀλλὰ σὺν αὐτῇ συναπέρχεται, οὔτε πόθος ἵσταται μαραινομένου τοῦ ὑπεκκαύματος. ὁ δὲ κατὰ θεὸν καὶ σώφρων, ἐπειδὴ πράγματος ἑστῶτός ἐστι, διὰ τοῦτο καὶ μόνιμος, καὶ ὅσῳ τὸ κάλλος αὐτῷ τῆς ἀρετῆς φαντάζεται, τοσούτῳ ἑαυτῷ τε καὶ ἀλλήλοις συνδεῖ τοὺς τῶν αὐτῶν ἐραστάς.

### *Eidem.* 88.

Quamuis ex his, qui populi curã ac præfecturam susceperunt, nonnulli sint, vt abs te dictũ est, qui cùm se pauperum negotiũ agere primò simulent, in priuatum tandẽ quæstum desinant: tu tamen eos, qui naufragium faciunt, ne attende, verùm iis, qui clauum tutò tractant, ac secunda aura nauigant.

### Τῷ αὐτῷ. πη.

Εἰ καὶ εἰσί τινες, ὡς ἔφης, τῶν τὴν προστασίαν τῶν λαῶν ἀναδησαμένων, ἀπὸ μὲν τῆς τῶν πενήτων σκέψεως ἀρχόμενοι, εἰς δὲ τὸν ἴδιον χρηματισμὸν τελευτῶντες. ἀλλά γε αὐτὸς μὴ τοῖς ναυαγοῦσι πρόσεχε, ἀλλὰ τοῖς τοὺς οἴακας ἀσφαλῶς μεταχειρίζουσι, καὶ ἐξ οὐρίας πλέουσι.

### *Isidoro Diacono.* 89.

Quandoquidem pro tua industria doctrinęque studio intelligere aues, quonam pacto illę apud Danielem perscriptæ sexa-

### Ἰσιδώρῳ διακόνῳ. πθ.

Ἐπειδὴ φιλόπονος ὢν καὶ φιλομαθὴς, ἠθέλησας μαθεῖν πῶς ἐπληρώθησαν αἱ παρὰ τῷ Δανιὴλ ἀναγεγραμμέναι

μὲν αἱ ἑξήκοντα καὶ ἐννέα ἑβδομάδες τῶν ἐτῶν, αἱ ἀπὸ τῆς οἰκοδομῆς τῆς Ἱερουσαλὴμ ἀριθμούμεναι, καὶ εἰς τὴν ἅλωσιν αὐτῆς τελευτῶσαι. ἴσθι, ὅτι οὐκ ἐπὶ Κύρου ᾠκοδομήθη, ἀλλὰ τῷ Κ. ἔτει τῆς βασιλείας τοῦ Μακρόχειρος. τότε γὰρ, ὡς Ἔσδρας διηγεῖται, Νεεμίας ἐλθὼν τὴν πόλιν ἔκτισε. πῶς οὖν, ἔφης, ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν; ὅτι ἐν μὲν τῇ ξθ, τουτέστι τῷ τρίτῳ καὶ ὀγδοηκοστῷ καὶ τετρακοσιοστῷ ἔτει, ἀρχὴν ἔσχεν ὁ πόλεμος. τῇ δ' ἑξῆς ἑβδομάδι τῶν ἐτῶν ἐτελεύτησε, συντελευτησάντων καὶ τῶν Ἰουδαϊκῶν πραγμάτων. εἰ δὲ λέγεις, πῶς; ἰστέον ὅτι μετὰ τὸ Κ ἔτος τοῦ Μακρόχειρος ἕως τελευτήσῃ ἡ περσικὴ βασιλεία, ἔτη διεγένοντο ἑκατὸν δέκα τρία, μεθ' ἣν ἡ Μακεδονικὴ διήρκεσεν ἕως ἐτῶν διακοσίων ἐνενήκοντα τεσσάρων. εἶτα ἡ Ῥωμαϊκή, Αὐγούστου μὲν βασιλεύοντος, ἔτη τεσσαράκοντα τρία. Τιβερίου δὲ, εἰκοσιδύο. Γαΐου, τέσσαρα. Κλαυδίου, ἑπτά. τῷ γὰρ ὀγδόῳ αὐτοῦ ἔτει, ἤρξατο Ἰουδαίοις ἡ τῶν πραγμάτων κίνησις, ἀφ' ἧς ὁ πρὸς Ῥωμαίους αὐτοῖς ἐξήφθη πόλεμος, ὁ τὴν ἅλωσιν ἀποτεκών. ἐπὶ γὰρ Νέρωνος τοῦ διαδεξαμένου Κλαυδίου, λαμπρῶς καὶ κατὰ κράτος πολεμηθέντες ὑπὸ Οὐεσπασιανοῦ, τὸ τηνικάδε Νέρωνι στρατηγοῦντος, ὕστερον δὲ βασιλεύσαντος ἑάλωσαν.

ginta nouem annorum hebdomadas, quæ à Hierosolymitanæ vrbis ædificatione incipientes, in ipsius expugnationem desinunt, expletæ fuerint, illud habeto, eã non Cyri tempore, sed vicesimo regni Longimani anno extructam fuisse. Nam tum, vt Esdras commemorat, profectus Neemias vrbem instaurauit. Quonam igitur modo, inquit, septuaginta hebdomadæ abbreuiatæ sunt super populum tuum, & super ciuitatem structam? Nimirum quia in sexagesima nona, hoc est anno quadringẽtesimo octuagesimo tertio bellum geri cœptũ est, sequẽte autem annorum hebdomada, vnà cum Iudaicis rebus finem habuit. Quòd si, vnde id probetur, quæris, illud sciendũ est, inter vicesimum Longimani annum & Persici Imperij finem, tredecim & centum annos interfluxisse, ac deinde Macedonicum vsque ad ducẽtos nonaginta quatuor annos sese porrexisse: pòst autem Romanum, Augusto imperante ad tres & quadraginta annos, Tiberio autem imperium gerente, ad duos & viginti, ac denique Claudio rerum summam obtinente ad septem propagatũ fuisse. Nam octauo ipsius anno initium cœpit Iudæis rerum motus, qui bellum illud aduersus Romanos ipsis excitauit, ex quo vrbis excidiũ ortum est. Neronis enim, qui Claudio successit, tempore, Iudæi, à Vespasiano, qui tum Neronis dux militaris erat, præclarè ac fortiter oppugnati: posteà, eodem imperij habenas tenente, capti sunt.

Ζωσίμῳ πρεσβυτέρῳ. ϙ.

*Zosimo Presbytero.* 90.

Μανθάνω ὡς, ἐπὶ μὲν τοῖς δοκοῦσιν ἐπονειδίστοις, λίαν ἄχθῃ. ἐπὶ δὲ τοῖς ὄντως οὖσιν, οὐ μόνον οὐ καταδύῃ, ἀλλὰ καὶ ἐναβρύνῃ, τὸ μὲν ἐκ δούλου σε γεγενῆσθαι πατρὸς, ὅπερ οὐκ ἔστι προαιρέσεως ὄνειδος, οὐδ' ἐν λόγῳ τίθεσθαι, ἀλλὰ τοσοῦτον καταγινώσκειν τῶν ἐπὶ τὴν ἀρετὴν παρακαλούντων, ὅσον ἔδει τῶν ἐπὶ τὴν ῥαθυμίαν ἀγόντων καταψηφίζεσθαι. καὶ εἰ μὲν εἰς τοὺς

Audio te ob ea quidem quæ probri speciem habent vehementer angi: ob ea autẽ, quæ verè probrosa sunt, non modò nullo pudore suffundi, sed etiam gloriari. Nam quòd seruo patre ortus sis (quod voluntatis institutique animi minimè probrũ est, nec vllo modo curandum est) maiorem in modum discruciaris. At interim eos, qui te ad virtutem hortantur, tantum reprehendis, quantum eos condemnare opor-